ἀχνύμενος.] Grieving over the troubles of Thebes (see Introd.) and in particular for the death of Nikokles, cf. *infra vv.* 61—63.

αἰτέομαι.] For the pass. of persons cf. Aesch. *Choeph.* 471 and Paley's note. This use of the simple verb is almost confined to the participles.

χρυσέαν.] Cf. Isth. ii. 26.

Μοῖσαν καλ.] Cf. Nem. iii. 1.

μεγάλων.] Cf. καρτεράν, *v.* 13. They are still in grief and anxiety which can only be thrown off by an effort, but the worst is over.

6. ἐν.] Cf. Pyth. i. 74.

στεφάνων.] 'Festive garlands,' *i.e.* festivity and song, cf. *infra v.* 67, Eur. *Herc. Fur.* 676, μὴ ζῴην μετ' ἀμουσίας, ἀεὶ δ' ἐν στεφάνοισιν εἴην.

7. ἀπράκτων καλῶν.] mss. ἄπρηκ. 'From bootless, idle, sorrow.' Cf. *Il.* xxiv. 522, ἄλγεα δ' ἔμπης | ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ· | οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο, also *ib. v.* 550.

8. δαμωσόμεθα.] 'We will delight the city folk with.' Cf. Aristoph. *Pax*, 797, ascribed by a Schol. to Stêsichoros' *Oresteia*, τοιάδε χρὴ Χαρίτων δημώματα καλλικόμων τὸν σοφὸν ποιητὴν ὑμνεῖν, the words τὸν σοφὸν ποιητὴν being of course Aristophanes'. This Schol. interprets δαμώματα δὲ τὰ δημοσία ᾀδόμενα. The Grammarians seem to ascribe the sense δημοκοπεῖν, παίζειν to Plato. Cf. Dobson on Plato, *Tim.* p. 161 (ii. i. 217). Perhaps δήμωμα is rather a 'popular song,' 'popular phrase,' than 'a jest' or 'popular pastime.'

καὶ μετὰ πόνον.] 'Though after a painful effort.'

10. τόν.] mss. τε, Böckh γε, Mommsen καί, Bergk ἄτε. I propose τὸν which is corrupted *infra v.* 65.

For theme cf. Ol. i. 54—58, Bergk, *Anacreontea*, 22 [20], ἡ Ταντάλου ποτ' ἔστη | λίθος Φρυγῶν ἐν ὄχθαις.

παρά...ἔτρ.] Tmesis.

ἄμμι.] *Dat. commodi.*

11. Ἑλλάδι μόχθον.] Cf. Isth. v. 28.

ἀλλ' ἐμοί.] So mss. Böckh ἀλλά μοί, Bergk ἀλλ' ἐμ' οὐ with καρτερᾶν μεριμνᾶν.

12. δεῖμα...παροιχόμενον.] mss. δ. μ. παροιχομένων. Mezger δειμά-

καρτερὰν ἔπαυσε μερίμναν· τὸ δὲ πρὸ ποδὸς ἄρειον
ἀεὶ *σκοπεῖν* 25
χρῆμα πᾶν. δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κρέμαται,
15 ἑλίσσων βίου πόρον· ἰατὰ δ' ἐστὶ βροτοῖς σύν γ' ἐλευθερίᾳ 30
καὶ τά. χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν·
χρὴ δ' ἐν ἑπταπύλοισι Θήβαις τραφέντα 35
Αἰγίνᾳ χαρίτων ἄωτον προνέμειν,
πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων
ὁπλόταται, Ζηνί τε ἄδον βασιλέϊ. 40
ὃ τὰν μὲν παρὰ καλλιρόῳ
20 Δίρκᾳ φιλαρμάτου πόλιος ᾤκισσεν ἀγεμόνα·

των παροιχομένων with *θεὸς* for suppressed subject. Mommsen *χάρμα μὲν παροιχομένων* suggested by the Schol. *ἐμοὶ δὲ τῶν φθασάντων κακῶν τόν τε φόβον καὶ τὴν μέριμναν αἱ νῦν τῆς νίκης εὐφροσύναι ἔλυσαν.* For the construction of the text, 'the passing by of the terror,' cf. Ol. IX. 103 note, Pyth. XI. 22, 23, Thuk. I. 100 *fin.* *οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον*, also Nem. VI. 2, IX. 6.

13. The MSS. give no infinitive verb. The Scholl. give *σκοπεῖν καὶ εὖ διατιθέναι* and *προβλέπειν* and *ἀντέχεσθαι.* Thiersch, Böckh give *σποπεῖν*: Bergk now reads *ὁρᾶν* before *ἀεί.* For the infinitive cf. Ol. VII. 25. For *τὸ πρὸ ποδὸς* cf. Pyth. III. 60, X. 61, *τῶν δ' ἕκαστος ὁρούει, | τυχὼν κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός· | τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι*, and for sentiment Ol. XII. 7.

14. *χρῆμα πᾶν.*] Here *πᾶν* = 'in every case,' cf. Nem. V. 16. Bergk reads *χρῆμα. πανδόλιος.*

αἰών.] Cf. Isth. III. 18. For sentiment cf. Nem. XI. 43.

ἐπ'...κρέμαται.] Tmesis. Cf. Simonidês Frag. 39 [54], *ἀνθρώπων ὀλίγον μὲν κάρτος, ἄπρακτοι δὲ μεληδόνες, αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ πόνῳ· ὁ δ' ἄφυκτος ὁμῶς ἐπικρέμαται θάνατος.* Archiloch. Frag. 53 [45], *μηδ' ὁ Ταντάλου λίθος τῆσδ' ὑπὲρ νήσου κρεμάσθω.*

15. *ἑλίσσων.*] Cf. Isth. III. 18.

βίου πόρον.] For metaphor cf. Ol. II. 33. Some MSS. give *βιότου*, cf. Isth. III. 23.

σύν γ' ἐλευθερίᾳ.] 'So freedom but remain.'

καὶ τά.] 'Even such a fate as ours.' Cf. *Od.* V. 259, *ὁ δ' εὖ τεχνήσατο καὶ τά* (Prof. Seymour).

χρή.] Cf. Isth. III. 7, 8.

16. *χαρίτων.*] Cf. Isth. III. 8, Frag. 53. 2, 'songs.'

προνέμειν.] 'To give lavishly.' 'For that from her sire were born maidens twain, youngest of Asôpos' daughters.' For the daughters of Asôpos cf. Ol. VI. 84.

19. *ὅ.*] Masc. demonstrative, cf. *vv.* 23, 49. Paley however takes it to be for *δι' ὅ.*

τάν.] Thêbâ.

20. *φιλαρμ.*] Cf. Frag. 83 [73]. 5.

ἀγεμόνα.] Only here used in the feminine gender. 'As tutelary deity.'

Στρ. γ'.

σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν
*κοιμᾶτο, δῖον ἔνθα τέκες 45
Αἰακὸν βαρυσφαράγῳ πατρὶ κεδνότατον ἐπιχθονίων· ὃ καὶ
δαιμόνεσσι δίκας ἐπείραινε· τοῦ μὲν ἀντίθεοι 50
25 ἀρίστευον υἱέες υἱέων τ' ἀρηΐφιλοι παῖδες ἀνορέᾳ
χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον· 55
σώφρονές τ' ἐγένοντο πινυτοί τε θυμόν.
ταῦτα καὶ μακάρων ἐμέμναντ' ἀγοραί,
Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισας, Ποσειδᾶν, γάμῳ, 60
ἄλοχον εὐειδέα θέλων ἑκάτερος
ἑὰν ἔμμεν· ἔρως γὰρ ἔχεν.
30 ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες, 65

Στρ. δ'.

ἐπεὶ θεσφάτων ἐπάκουσαν· εἶπε δ'
εὔβουλος ἐν μέσοισι Θέμις,

21. σέ.] Aegina.

Οἰνοπίαν.] A variation of Οἰνώνη, Nem. VIII. 7, the old name of Aegina. Cf. Ov. *Met.* VII. 472, latere inde sinistro | Oenopiam Minos petit Aeacideïa regna; | Oenopiam ueteres appellauere; sed ipse | Aeacus Aeginam genitricis nomine dixit.

ἐνεγκών.] Bergk φέρων ἐκοιμᾶτο, Kayser ἐ. κοίμασε, Hermann ἔνεικε κοιμᾷ τε. The dative after κοιμᾶτο is supplied from σέ. See L. and S.

25. ἀρίστευον.] Cf. *Il.* XI. 746, ἀριστεύεσκε μάχεσθαι.

χάλκεον.] Defines while στονόεντα is descriptive, cf. στονόεις σίδαρος Soph. *Tr.* 887; πλαγά, Aesch. *Pers.* 1053.

ἐγένοντο.] 'Proved themselves,' cf. Nem. III. 71, Pyth. II. 72.

27. ἔρισας.] MSS. and Mommsen, Schol. and Edd. ἔρισαν, taking Ποσειδᾶν as nominative.

γάμῳ.] 'With a view to wedlock.' Dative of purpose, cf. Isth. VI. 7.

28. θέλων.] So MSS. Böckh εὐειδέ' ἐθέλων, but cf. Ol. II. 97, Isth. V. 43.

29. ἐάν.] Taken with ἄλοχον εὐειδέα. For order cf. O. and P. p. xxxvi.

ἔχεν.] MSS. εἶχεν, ἕλεν. For suppression of object cf. Pyth. II. 17.

30. εὐνάν.] Cf. Ol. VII. 6. The word is probably allied to our *wont*, Ger. Gewohnheit, wohnen.

31. ἐπάκουσαν.] Böckh after Medicean MSS. ἤκουσαν. Schol. τῶν μεμοιραμένων κατήκουσαν. Bergk ἐσυνῆκαν, Kayser θαύματ' ἄϊον ἐννεπεν δὲ—. Text, Tricl. MSS.

εἶπε δ'.] So MSS. Böckh εἶπεν.

εἵνεκεν πεπρωμένον ἦν, φέρτερον γόνον ἄνακτα πατρὸς τεκεῖν 70
ποντίαν θεόν, ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος
διώξει χερὶ τριόδοντός τ' ἀμαιμακέτου, Διΐ γε μισγομέναν 75
ἢ Διὸς παρ' ἀδελφεοῖσιν. ἀλλὰ τὰ μὲν
παύσατε· βροτέων δὲ λεχέων τυχοῖσα
υἱὸν εἰσιδέτω θανόντ' ἐν πολέμῳ, 80
χεῖρας Ἄρεΐ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν.
τὸ μὲν ἐμόν, Πηλέϊ γάμου θεόμορον 85
ὀπάσσαι γέρας Αἰακίδᾳ,
ὄντ' εὐσεβέστατον φάτις Ἰωλκοῦ τράφειν πεδίον·

Στρ. ε'.

ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς
Χείρωνος αὐτίκ' ἀγγελίαι· 90
μηδὲ Νηρέος θυγάτηρ νεικέων πέταλα δὶς ἐγγυαλιζέτω

33. MSS. give text, the last syllable of *γόνον* being long (cf. Pyth. IX. 114, Nem. I. 51, 69, VI. 60). Edd. have altered variously. If I altered I should read *παῖδα* for *γόνον*, as the supposed hiatus before (*F*)*άνακτα* might cause alteration.

εἵνεκεν.] Equivalent to *ὀθούνεκα* like *οὕνεκα* = 'that.' Don. would read *οὕνεκεν*. Prôteus repeats this prophecy to Thetis, Ov. *Met.* XI. 221. Ammônios, *s.v. οὕνεκα*, says that Kallimachos wrongly used *εἵνεκα* = *ὅτι*.

34. *ποντίαν θεόν.*] Thetis.

35. *Διΐ γε.*] MSS. omit *γε*. *Διΐ* is one long syllable. Edd. *Ζηνί*.

μισγομέναν.] 'If united.' The particle *ἂν* (*κε*), added by Bergk, is not wanted in the apodosis, as the consequence is certain. For the theme cf. Apoll. Rhod. IV. 797. Aesch. *Prom. Vinct.* 786, 7 (Paley's notes), 941. Bergk reads *Δὶ δαμαζομέναν*. By zeugma *μισγομέναν* is taken as *εὐναζομέναν* with *Διὸς παρ' ἀδελφεοῖσι*.

τὰ μέν.] 'This prospect,' or 'this rivalry.' Note the transition to *oratio recta*.

37. Note the chiasmus.

MSS. *ἄρεϊ χεῖρας* (*χέρας*) *ἐναλ.*

38. *τὸ μὲν ἐμόν.*] 'It is my counsel.'

θεόμορον.] MSS. *θεάμοιρον* | *ὀπάσαι*. There is here almost a case of hypallage; cf. O. and P. p. XXXV, Nem. III. 38, Pyth. IV. 255, *ὑμετέρας ἀκτῖνος ὄλβου*.

40. *φάτις.*] Böckh gives the text. MSS. *φασὶν* (*φάσ'*) *Ἰαωλκοῦ*. Bergk *φρασὶν* and *τράφεν*.

For Pêleus cf. Nem. III. 33, IV. 50—68.

42. *ἀγγελίαι.*] Abstract for concrete.

αὐτίκ'.] 'At once,' *εὐθὺς* goes with *ἐς*, 'straight to.'

43. *νεικέων πέταλα.*] 'Let not ...put into our hands votes about quarrels.' In Athens sometimes, and at Syrakuse, the letters indicat-

ἄμμιν· ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις ἐρατὸν
45 λύοι κεν χαλινὸν ὑφ' ἥρωϊ παρθενίας. ὣς φάτο Κρονί-
δαις 95
ἐννέποισα θεά· τοὶ δ' ἐπὶ γλεφάροις
νεῦσαν ἀθανάτοισιν· ἐπέων δὲ καρπὸς 100
οὐ κατέφθινε. φαντὶ γὰρ ξύν' ἀλέγειν
καὶ γάμον Θέτιος ἄνακτα. καὶ νεαρὰν ἔδειξαν
σοφῶν 105
στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος·
ὃ καὶ Μύσιον ἀμπελόεν
50 αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον, 110

Στρ. ε'.

γεφύρωσέ τ' Ἀτρεΐδαισι νόστον,
Ἑλέναν τ' ἐλύσατο, Τρωΐας
ἶνας ἐκταμὼν δορί, ταί μιν ῥύοντό ποτε μάχας ἐναριμ-
βρότου
ἔργον ἐν πεδίῳ κορύσσοντα, Μέμνονός τε βίαν 115

ing ballot-votes were scratched on olive-leaves. See L. and S. *s. vv.* πεταλισμός, ἐκφυλλοφορέω.

44. διχομηνίδεσσιν.] Cf. Eur. *Iph. in Aul.* 716, 717, τίνι δ' ἐν ἡμέρᾳ γαμεῖ; | ὅταν σελήνης εὐτυχὴς ἔλθῃ κύκλος. For the plur. Dissen compares νύκτες Pyth. IV. 256. Perhaps the plural covers the sixteenth day of the month, which is ἀνδρογόνος ἀγαθή, Hes. *W. and D.* 783.

45. λύοι.] For the active, which generally refers to the bridegroom, cf. Eur. *Alc.* 177.

ἐπί.] Tmesis, ἐπίνευσαν.

καρπός.] Cf. Aesch. *Sept. c. Theb.* 614 [P.], εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου, *Eum.* 684.

46. ξύν'.] MSS. ξυναλέγειν. Text Böckh. Cf. Soph. *Oed. Col.* 1752.

47. καὶ γάμον.] Explains the cognate acc. ξύν'.

καί.] 'And accordingly' (Mezger). Bergk reads ἄνακτας. αἰϊνέαν τ'.

ἔδειξαν.] Plural with distributive neuter plural. Old MSS. νέ' ἀνέδ. Triclin. νέαν ἔδ. Text Schmidt.

σοφῶν.] 'Poets.' For the theme cf. Nem. III. 43—58.

49. ὅ.] Cf. *supra vv.* 19, 50. Cf. Isth. IV. 41 for the subject.

51. The metaphor is perhaps suggested by the famous bridges of the Persians. It occurs again in Polybius I. 10, ἐᾶσαι Καρχηδονίους οἰονεὶ γεφυρῶσαι τὴν εἰς Ἰταλίαν αὐτοῦ διάβασιν.

53. ἶνας.] Cf. Lat. *nervi*, Plato, *Rep.* 411 B, ἐκτέμνειν ὥσπερ τὰ νεῦρα ἐκ τῆς ψυχῆς.

ῥύοντο.] 'Hindered,' cf. *v.* 1, Nem. IX. 23.

54. κορύσσοντα.] In the active this verb seems to mean 'to be at the head of,' 'to make a head (crest) of,' see references given by L. and S.

Μέμνονός τε βίαν.] For Memnôn cf. Isth. IV. 40, Nem. III. 63, Ol. II.

55 ὑπέρθυμον Ἕκτορά τ' ἄλλους τ' ἀριστέας· οἷς δῶμα
Φερσεφόνας 120
μανύων Ἀχιλεύς, οὖρος Αἰακιδᾶν,
Αἴγιναν σφετέραν τε ῥίζαν πρόφαινεν.
τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαὶ ἔλιπον, 125
ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' Ἑλικώνιαι παρθένοι
στάν, ἐπὶ θρῆνόν τε πολύφαμον ἔχεαν.
ἔδοξ' ἄρα καὶ ἀθανάτοις, 130
60 ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν.

Στρ. ζ'.

τὸ καὶ νῦν φέρει λόγον, ἔσσυταί τε
Μοισαῖον ἅρμα Νικοκλέος
μνᾶμα πυγμάχου κελαδῆσαι. γεραίρετέ μιν, ὃς Ἴσθμιον ἂν νάπος 135
Δωρίων ἔλαχεν σελίνων· ἐπεὶ περικτίονας
65 ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας ἀφύκτῳ χερὶ κλονέων. 140

83. For the formula cf. Ol. I. 88, Pyth. XI. 61, Isth. IV. 33.

55. οὖρος.] See L. and S. s. v. (B).

σφετέραν τε.] Not a case of hendiadys (Prof. Seymour), but = 'and his stock,' the Achaean Aeakids. For the metaphor cf. Ol. II. 46. For the idea cf. Isth. IV. 43.

56. μὲν...ἀλλά.] Cf. O. and P. p. xxxvii, Isth. III. 25, 34, IV. 46, 51. The hiatus in this line is of an unusual character, cf. O. and P. p. xlii.

57. Cf. *Od.* xxiv. 58—64.

οἱ.] Rather *dat. commodi* than possessive dative (O. and P. p. xxxvii, Nem. X. 29, Isth. IV. 43).

58. ἐπὶ...ἔχεαν.] Tmesis.

60. διδόμεν.] Cf. Pyth. IV. 67, for sentiment cf. Isth. III. 7.

61. φέρει λόγον.] 'Is reasonable.' But Pyth. VIII. 38, λόγον φέρεις, 'thou earnest the praise.'

62. Cf. Isth. II. 2, Ol. VI. 22—27.

63. μνᾶμα.] Acc. of general agreement, cf. Pyth. I. 58, κελαδῆσαι ποινὰν τεθρίππων, also Isth. III. 7.

κελαδῆσαι.] For inf. cf. Madv. § 148 *a* Rem.

γεραίρετέ μιν.] Old MSS. γεραίρεταί μιν, new γεραῖραι τέ μιν.

ἂν νάπος.] Hermann from old MSS. ἀναπο. New MSS. ἂν πέδον. Cf. Isth. III. 11 for the idea.

64. Δωρ. σελ.] Cf. Isth. II. 15.

64. περικτίονας.] Cf. Nem. XI. 19.

65. καὶ κεῖνος.] MSS. κἀκεῖνος. So in Ol. II. 99, perhaps read with Mommsen and Bergk καὶ κεῖνος (old MSS. κἀ κεῖνος, κἀκεῖνος) for ἐκεῖνος new MSS., Edd.

τὸν μὲν...γενεά.] Old MSS. against scansion τὸ μὲν...γενεάν. For sentiment cf. Pyth. VIII. 36, Isth. III. 14.

κριτοῦ.] 'Distinguished.' Cf. Pyth. IV. 50, Nem. VII. 7.

τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ
πατραδελφεοῦ· ἁλίκων τῷ τις ἅβρὸν 145
ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω
μυρσίνας στέφανον. ἐπεί νιν Ἀλκαθόου τ' ἀγὼν σὺν τύχᾳ
ἐν Ἐπιδαύρῳ τε πρὶν ἔδεκτο νεότας· 150
τὸν αἰνεῖν ἀγαθῷ παρέχει·
70 ἥβαν γὰρ οὐκ ἄπειρον ὑπὸ χειᾷ καλῶν δάμασεν.

66. Κλεάνδρῳ.] *Dat. Commodi* 'in honour of.'

ἁλίκων τῷ τις.] Cf. *supra*, *v.* 1 and for τῷ *v.* 5.

67. μυρσίνας.] Cf. Isth. III. 87. The revellers in the kômos were to wear wreaths of myrtle.

Ἀλκαθόου.] The games at Megara held in celebration of the death of Alkathoos son of Pelops.

σὺν τύχᾳ.] 'With prosperous issue.' Cf. Nem. VII. 11, X. 25.

68. MSS. ἐν Ἐ. τε νεότας πρὶν ἔδεκτο. Hermann. ἐν Ἐ. τε ν. δέκετο πρίν. The text is Bergk's and also mine.

69. παρέχει.] Cf. Eur. *El.* 1080, καίτοι καλῶς γε σωφρονεῖν παρεῖχέ σοι [Mezger]. Cf. also Herod. I. 9, III. 142. 'It is easy,' 'opportunity presents itself.' Note that it requires ἀρετὰ to appreciate and duly celebrate ἀρετά.

70. 'For he did not make his youth a thrall to obscurity for lack of essaying noble deeds.' Strictly ὑπὸ χειᾷ goes with ἄπειρον 'having no experience (through keeping close) in a nook (hole)—of noble deeds.' For the general meaning cf. Isth. III. 48. The order is strained.

I.

ΙΣΘΜΙΟΝΙΚΑΙ.

1. [4.] *

Κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσικλυτὸς
Αἴγινα· σὺν θεῶν δέ νιν αἴσᾳ
Ἄλλου τε καὶ Αἰγιμιοῦ Δωριεὺς ἐλθὼν στρατὸς
ἐκτίσσατο· τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται
5 οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες· οἷοι δ' ἀρετὰν
δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ
Μοισᾶν ἀγωνίων τ' ἀέθλων.

1A. = B[4] 2.

ὁ δὲ θέλων τε καὶ δυνάμενος ἁβρὰ πάσχειν
τὰν Ἀγαμήδει τε Τροφωνίῳ Ἑκαταβόλου συμβουλίαν
λαβών.

1. Given in the Medicean family of MSS., apparently the exordium of Isth. VIII [IX].

1. 2. αἴσᾳ.] Cf. Nem. VI. 49.

1. 3, 4. Cf. Pyth. I. 61—65.

1. 5. Cf. Ol. VIII. 20—30, Pyth. VIII. 21—27.

1. 6. δελφῖνες.] For their speed cf. Pyth. II. 50, 51, Nem. VI. 66, Frag. 219 [258].

ταμίαι.] Cf. Nem. VI. 27.

1. 7. ἀέθλων.] 'Prizes.'

1 A. Schol. Lucian. *Dial. Mort.* III. Edited from Vatican MS. (Pal. 73) by E. Rhode, *Philologus*, XXXV. 199. The Schol. ascribes the above fragment to one of Pindar's Isthmian (MS. ΙΣΟΜΙΟΝΙΚΩΝ) odes in honour of the Rhodian boxer Kasmylos (cf. Simonides, *Epig.* 154 [212], Εἰπὸν τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δ' ἐνίκης; | Κασμύλος, Ἐυαγόρου, Πύθια πύξ, Ῥόδιος.

1 A. 1. ἁβρὰ πάσχειν.] Cf. Solôn, 24 [5], 4.

1 A. 2. Cf. Frag. 31 [26].

2. [1.] = B[4] 5.

Αἰολίδαν δὲ Σίσυφον κέλοντο
ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας
ἀποφθιμένῳ Μελικέρτᾳ.

3. [2.] = B[4] 7.

ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν.

4. [3.] = B[4] 8.

Eustath. *Od.* μ'. 1715, 63, ὅτι δοκεῖ τὸ τοιοῦτον κατὰ γένος εἰρῆσθαι οὐδέτερον, ὡς ἐμφαίνει Πίνδαρος ἐν Ἰσθμιονίκαις εἰπὼν τρία κρᾶτα ἤτοι κράατα.

5. = B[4] 9.

Serv. Virg. *Georg.* I. 31, "Generum vero pro marito positum multi accipiunt,...nam et Pindarus ἐν τοῖς Ἰσθμίοις γαμβρὸς ἀντὶ τοῦ νυμφίου dixit."

II.

ΥΜΝΟΙ.

ΥΜΝΟΣ Α ΘΗΒΑΙΟΙΣ.

6. 7. [5. 6.] = B[4] 29. 30.

6. Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν,

2. The Isthmian games were originally founded as the funeral games of Melikertes. This fragment is preserved as τὸ ἐν Ἰσθμιονίκαις Πινδάρου by Apollônios Dyskolos, *de Synt.* II. 21, p. 156, where he explains that ᾧ is not τῷ Σισύφου, for Pindar calls Melikertes Ἀθαμαντιάδαν (Bergk 4, Frag. 6), but τῷ αὐτῆς, i.e. Ἰνοῦς. So the Introductory Schol. to the Isthmians says χορεύουσαι τοίνυν ποτὲ αἱ Νηρεΐδες ἐφάνησαν τῷ Σισύφῳ καὶ ἐκέλευσαν ἐς τιμὴν τοῦ Μελικέρτου ἄγειν τὰ Ἴσθμια.

3. Apollôn. Dyskol. *de Pron.* p. 368 A, as an instance of νιν plural. MS. ἐξεκυλίσθη.

6. Lucian. *Demosth. Encom.* c. 19; also (*vv.* 1—5 ἢ τάν-) Plutarch.

ἢ Κάδμον, ἢ σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,
ἢ τὰν κυανάμπυκα Θήβαν,
ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,
5 ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν,
ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν...;

* * *

7. Πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν
χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν
Μοῖραι ποτὶ κλίμακα σεμνὰν
ἄγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν
5 σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν·
ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας Ὥρας.

* 8. [7.] = B[4] 31.

Aristid. II. 142, Πίνδαρος δὲ τοσαύτην ὑπερβολὴν ἐποιήσατο, ὥστε ἐν Διὸς γάμῳ καὶ τοὺς θεοὺς αὐτούς φησιν ἐρομένου τοῦ Διός, εἴ του δέοιντο, αἰτῆσαι ποιήσασθαί τινας αὐτῷ θεούς, οἵτινες τὰ μεγάλα ταῦτ' ἔργα καὶ πᾶσάν γε δὴ τὴν ἐκείνου κατασκευὴν κατακοσμήσουσι λόγοις καὶ μουσικῇ. Cf. Choric. Gaz. p. 305 ed.

de Glor. Athen. c. 14, where is the story of Korinna having criticised Pindar's sparing use of myths, whereupon he composed this hymn δειξαμένου δὲ τῇ Κορίννῃ γελάσασα ἐκείνη τῇ χειρὶ δεῖν ἔφη σπείρειν ἀλλὰ μὴ δλῳ τῷ θυλάκῳ· τῷ γὰρ ὄντι συγκεράσας καὶ συμφορήσας πανσπερμίαν τινὰ μύθων ὁ Πίνδαρος εἰς τὸ μέλος ἐξέχεεν.

The Schol. on Nem. x. 1 tells us by implication that it was composed for the Thebans, and the Schol. Lucian. *l.c.* that this was the beginning of Pindar's *Hymns* (as collected and published).

6. 1. Μελίαν.] Cf. Pyth. XI. 4. For Μελίαι, a kind of nymphs, cf. Hes. *Theog.* 187. For the style, cf. the opening of Isth. VII.

7. Clem. Alexandr. *Str.* VI. 731. Böckh saw the identity of rhythm with Frag. 6, and made slight emendations accordingly.

7. 2. χρυσ. ἵππ.] Cf. Ol. I. 41, VIII. 51, of Poseidôn's horses.

Μοῖραι.] Hêsiod, *Theog.* 991 ff. makes the Moirae daughters of Zeus and Themis.

7. 3. κλίμακα.] Cf. Ol. II. 70, where Κρόνου τύρσιν seems to answer to κλ., Διὸς ὁδὸν to λιπαρὰν καθ' ὁδόν, the 'milky way,' cf. Ov. *Met.* I. 168—170.

7. 5. ἔμμεν.] For inf. cf. Isth. VII. 63, Frag. 53, 10.

7. 6. ἀλαθ. Ὥρ.] Cf. Ol. XIII. 6, Ol. XI. 53.

Boisson., ἐποίησε Πίνδαρος καὶ θεοὺς ὀκνοῦντας ὑμνῆσαι τὰς τοῦ Διὸς εἰς ἀνθρώπους φιλοτιμίας.

9. [8.] = B⁴ 32.

..... * Τοῦ θεοῦ
ἄκουσε Κάδμος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου *.

10. [133.] = B⁴ 33.

* Ἄνακτα τὸν * πάντων ὑπερβάλλοντα χρόνον μακάρων.

* 11A. [9.] = B⁴ 34.

Ὃς καὶ τυπεὶς ἀγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν.

* 11B. [10.] = B⁴ 35.

Κείνων λυθέντων σαῖς ὑπὸ χερσίν, ἄναξ.

ΕΙΣ ΑΜΜΩΝΑ.

12. [11.] = B⁴ 36.

Ἄμμων Ὀλύμπου δέσποτα.

ΕΙΣ ΠΕΡΣΕΦΟΝΗΝ.

13. [12.] = B⁴ 37.

Πότνια θεσμοφόρε χρυσάνιον.....

9. Altered by Böckh from Aristides, II. 383, ἀλλ' ὅτι κἂν τοῖς Ὕμνοις διεξιὼν περὶ τῶν ἐν ἅπαντι τῷ χρόνῳ συμβαινόντων παθημάτων τοῖς ἀνθρώποις καὶ τῆς μεταβολῆς τὸν Κάδμον φησὶν (Πίνδαρος) ἀκοῦσαι τοῦ Ἀπόλλωνος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου. Plutarch. *de Pyth. Oracl.* c. 6. Cf. Pyth. III. 90.

10. Plutarch. *Quaest. Platon.* VIII. 4.

Ἄνακτα τόν.] MSS. ἄνα τῶν. Text Hermann.

11 A. Hephaestiôn, 91. An example of the *Pindaricus versus* not especially ascribed to Pindar,

11 B. *Ib.* An example of the *Iambelegus*, given just after a verse of Pindar.

12. Schol. Pyth. IX. 89. Cf. Pyth. IV. 16. Pausanias, IX. 16, tells us that Pindar dedicated a statue by Kalamis for a temple of this god at Thebes, and that a hymn to Ammôn sent by the poet to his Libyan temple was there preserved in Pausanias' time on a three-sided stêlê. Cf. Frag. 36.

13. *Vit. Pind.* Cod. Vrat. A, (O. and P. p. xii. lines 8, 9), where

ΕΙΣ ΤΥΧΗΝ.

* 14. [16.] = B⁴ 38.

Ἐν ἔργμασι δὲ νικᾷ τύχα,
οὐ σθένος.

15. 16. 17. [14. 15. 13.] = B⁴ 39. 40. 41.

Pausan. IV. 30. 6, ᾖσε δὲ καὶ ὕστερον Πίνδαρος ἄλλα τε ἐς τὴν Τύχην, καὶ δὴ καὶ φερέπολιν ἀνεκάλεσεν αὐτήν. Plut. *de fort. Rom.* c. 10, τὴν δὲ Τύχην καὶ οἱ μετ' ἐκεῖνον ἐθαύμασαν βασιλεῖς ὡς πρωτόπολιν καὶ τιθηνὸν καὶ φερέπολιν τῆς Ῥώμης ἀληθῶς κατὰ Πίνδαρον. *Ibid.* c. 4, οὐ μὲν γὰρ ἀπευθὴς (Τύχη) κατὰ Πίνδαρον, οὐδὲ δίδυμον στρέφουσα πηδάλιον.—Pausan. VII. 26. 8, ἐγὼ μὲν οὖν Πινδάρου τά τε ἄλλα πείθομαι τῇ ᾠδῇ, καὶ Μοιρῶν τε εἶναι μίαν τὴν Τύχην καὶ ὑπὲρ τὰς ἀδελφάς τι ἰσχύειν.

18. [171.] = B⁴ 42.

...Ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται
μόχθος ἄμμιν· τοῦτό γέ τοι ἐρέω·
καλῶν μὲν ὧν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ
δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα
5 προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν.

* 19. [173.] = B⁴ 43.

Ὦ τέκνον,
ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον
προσφέρων πάσαις πολίεσσιν ὁμίλει· τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν
ἄλλοτ' ἀλλοῖα φρόνει.

the hymn is said to be to Dêmêtêr. Pausanias, IX. 23. 2, says that Pindar calls Ἅιδης χρυσήνιος in a hymn to Persephonê.

14. Aristid. II. 334. Cf. Isth. III. 49—53.

14—17. Cf. Ol. XII. 2.

18. Stobaeos, *Flor.* CIX. 1. For sentiment cf. P. III. 83.

19. Athênaeos, XII. 513 c.

19. 2. ποντίου θηρός.] I.e. Πολύποδος. Amphiarâos is advising

20. [23.] = B[4] 44.

Lactant. ad Stat. *Theb.* II. 85, "*Ogygii* Thebani ab Ogyge rege aut amne. Sic Pindarus in *Somniis* (Cod. Gud. Frising. Cassell. *Somnis*, Boeckh *Hymnis*)?"

21. 22. [20. 21.] = B[4] 45. 46.

Antiattic. in Bekk. An. I. 80. 8, ἀρχαιέστερον. Πίνδαρος Ὕμνοις.—Gramm. *Ibid.* 339, ἄγριος ἔλαιος, ἣν οἱ πολλοὶ ἀγριέλαιον καλοῦσιν, ἔστι παρὰ Πινδάρῳ ἐν Ὕμνοις.

23. [18.] = B[4] 47.

Et. M. 821. 59, Πίνδαρος δὲ ἐν Ὕμνοις ἐρίφων μεθομήρεον, οἷον ὁμοῦ καὶ μετ' αὐτῶν πορευόμενον.

24. [17.] = B[4] 48.

Aristid. II. 168, οὐκοῦν πρίν τινα τῶν ἀντιπάλων ἐλεῖν, ἕνα τῶν φίλων θηρεύσας ἄγεις, καὶ πέπονθας ταὐτὸν τῷ Πινδάρου Πηλεῖ, ὃς τῆς τε θήρας διήμαρτε καὶ τὸν Εὐρυτίωνα φίλτατον ὄντα ἑαυτῷ προσδιέφθειρεν. Cf. Schol. III. 463, ἐν Ὕμνοις μέμνηται Πίνδαρος, ὅτι τὸν Εὐρυτίωνα, τὸν τοῦ Ἴρου τοῦ Ἄκτορος παῖδα, ἕνα ὄντα τῶν Ἀργοναυτῶν, συνθηρεύοντα ἄκων ἀπέκτεινε Πηλεύς.

Amphilochos, cf. Athênaeos, VII. p. 317 A, πουλύποδός μοι, τέκνον, ἔχων νόον, Ἀμφίλοχ' ἥρως, | τοῖσιν ἐφαρμόζου τῶν κεν καὶ δῆμον ἵκηαι.

20. The quotation is quite unintelligible. Perhaps, as Böckh and others suggest, it begins with Ὠγυγίους δ' εὗρεν and ends with ἐς αἰπύ.

The letters in five versions run thus:

Text opite	TωCDeeyPeNoπo	NNHTHCTANe	CCIπy
Cod. Gud. opite	IωCΔ EEyPaNω	NNHTHEΦa.—NE	CCIIII
Cod. Frising. opite.	ιωC EeyPE–NONONNH–THFΦa.—Ne		CCyNy
Cod. Cassell. opite	IωCa EETPENy	NNNtHΦaNE	CCIIII
Cod. Mon. opire	IωCD eeypenoro	nnHtHeΦáHe·—	CCINHy

[The ranging is mine to exhibit the correspondences and differences as clearly as possible. All the versions have a space after the 5th letter. The other MS. spaces are indicated by—.]

25. [19.] = B⁴ 49.

Schol. Pind. Pyth. IV. 388, *ταύτην δὲ (Φρίξου μητρυιὰν) ὁ μὲν Πίνδαρος ἐν Ὕμνοις Δημοδίκην φησίν, Ἱππίας δὲ Γοργῶπιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι Νεφέλην, Φερεκύδης Θεμιστώ.*

26. [22.] = B⁴ 50.

Quintil. VIII. 6. 71, "Exquisitam vero figuram huius rei (hyperboles crescentis) deprehendisse apud principem Lyricorum Pindarum videor in libro, quem inscripsit Ὕμνους. Is namque Herculis impetum adversus Meropas, qui in insula Co dicuntur habitasse, *non igni nec ventis nec mari, sed fulmini* dicit *similem fuisse*, ut illa minora, hoc par esset."

27. 28. = B⁴ 51.

Strabo VII. T. II. p. 91 ed. Kramer, *οὐκ ὀκνοῦσι δέ τινες καὶ τὸ μέχρι τοῦ Μυρτῴου πελάγους ἅπαν καλεῖν Ἑλλήσποντον, εἴπερ, ὥς φησιν ἐν τοῖς Ὕμνοις Πίνδαρος, οἱ μεθ' Ἡρακλέους ἐκ Τροίας πλέοντες διὰ παρθένιον Ἕλλας πορθμόν, ἐπεὶ τῷ Μυρτῴῳ συνῆψαν, εἰς Κῶν ἐπαλινδρόμησαν Ζεφύρου ἀντιπνεύσαντος.*

Schol. Aristoph. *Plut.* 9, *καὶ τὰ μὲν περὶ τοῦ Πυθίου τρίποδος διαφόρως ἱστορούμενα ἐν τοῖς τοῦ Πινδάρου ὕμνοις εὐκαίρως ὑμῖν διείληπται.*

III.

ΠΑΙΑΝΕΣ.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ ΠΥΘΙΟΝ.

29. [24.] = B⁴ 52.

Ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν ἀπολωλέναι.

29. Schol. Nem. VII. 94. From a paeân composed for Delphi. The words refer to Neoptolemos.

30. [25.] = B[4] 53.

Χρύσιαι δ' ἐξ ὑπερῴου
ἄειδον Κηληδόνες.

* 31. [26.] = B[4] 3.

Plut. *Consol. ad Apoll.* c. 14, καὶ περὶ Ἀγαμήδους δὲ καὶ Τροφωνίου φησὶ Πίνδαρος, τὸν νεὼν τὸν ἐν Δελφοῖς οἰκοδομήσαντας αἰτεῖν παρὰ τοῦ Ἀπόλλωνος μισθόν, τὸν δ' αὐτοῖς ἐπαγγείλασθαι εἰς ἑβδόμην ἡμέραν ἀποδώσειν, ἐν τοσούτῳ δ' εὐωχεῖσθαι παρακελεύσασθαι, τοὺς δὲ ποιήσαντας τὸ προσταχθέν, τῇ ἑβδόμῃ νυκτὶ κατακοιμηθέντας τελευτῆσαι. λέγεται δὲ καὶ αὐτῷ τῷ Πινδάρῳ ἐπισκήψαντι τοῖς παρὰ τῶν Βοιωτῶν πεμφθεῖσιν εἰς θεοῦ πυθέσθαι, τί ἄριστόν ἐστιν ἀνθρώποις, ἀποκρίνασθαι τὴν πρόμαντιν, ὅτι οὐδ' αὐτὸς ἀγνοεῖ, εἴ γε τὰ γραφέντα περὶ Τροφωνίου καὶ Ἀγαμήδους ἐκείνου ἐστίν. εἰ δὲ καὶ πειραθῆναι βούλεται, μετ' οὐ πολὺ ἔσεσθαι αὐτῷ πρόδηλον· καὶ οὕτω πυθόμενον τὸν Πίνδαρον συλλογίζεσθαι τὰ πρὸς τὸν θάνατον, διελθόντος δ' ὀλίγου χρόνου τελευτῆσαι.

* 32. [27.] = B[4] 54.

Pausan. x. 16. 2, τὸν δὲ ὑπὸ Δελφῶν καλούμενον ὀμφαλὸν λίθου πεποιημένον λευκοῦ, τοῦτο εἶναι τὸ ἐν μέσῳ τῆς πάσης αὐτοὶ λέγουσιν οἱ Δελφοί, καὶ ἐν ᾠδῇ τινι Πίνδαρος ὁμολογοῦντά σφισιν ἐποίησεν. Cf. Strabo, IX. 419, καὶ ἐκάλεσαν τῆς γῆς ὀμφαλόν, προσπλάσαντες καὶ μῦθον, ὃν φησι Πίνδαρος, ὅτι συμπέσοιεν ἐνταῦθα οἱ αἰετοὶ οἱ ἀφεθέντες ὑπὸ τοῦ Διός, ὁ μὲν ἀπὸ τῆς δύσεως, ὁ δ' ἀπὸ τῆς ἀνατολῆς.

30. Pausan. x. 5. 12. The κηληδόνες (Athên. VII. 290 E, Pausan. κηλήμονες) were like the Seirens. From Galen. T. XVIII. A, p. 519, Bergk gets ἐξύπερθ' αἰετοῦ for ἐξ ὑπερῴου. Golden figures representing these females were suspended under the roof of the third temple at Delphi [Don.].

31. Bergk now considers that this passage refers to the Isthmian to which the Frag. 1 A belonged.

32. The golden eagles and omphalos are represented on a statêr of Kyzikos, *Brit. Mus. Educ. Series of coins*, Period II. no. 12. Cf. Pyth. IV. 4.

* 33. [28.] = B[4] 55.

Schol. Aeschyl. *Eum.* 3, Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα, διὸ καὶ ταρταρῶσαι ἐζήτει αὐτὸν ἡ Γῆ.

34. = B[4] 56.

Himer. III. 1, χαῖρε φίλον φάος χαρίεντι μειδιόον προσώπῳ· μέλος γάρ τι λαβὼν ἐκ τῆς λύρας εἰς τὴν σὴν ἐπιδημίαν προσᾴσομαι, ἡδέως μὲν ἂν πείσας καὶ αὐτοὺς τοὺς λόγους λύραν μοι γενέσθαι καὶ ποίησιν, ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖος Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος. Cf. *ib.* XIII. 7, τὰ δὲ σὰ νῦν δέον καὶ αὐτῷ τῷ Μουσηγέτῃ εἰκάζεσθαι, οἷον αὐτὸν καὶ Σαπφὼ καὶ Πίνδαρος ἐν ᾠδῇ κόμῃ τε χρυσῇ καὶ λύραις κοσμήσαντες, κύκνοις ἔποχον εἰς Ἑλικῶνα πέμπουσι, Μούσαις Χάρισί τε ὁμοῦ συγχορεύσοντα.

ΕΙΣ ΔΙΑ ΔΩΔΩΝΑΙΟΝ.

* 35. [29.] = B[4] 57.

Δωδωναῖε μεγάσθενες, ἀριστότεχνα πάτερ.

35. A.

Dio Chrys. *Or.* XII. T. I. 251 Emper. ὃν πάνυ καλῶς ποιητὴς προσεῖπεν ἕτερος· Δωδ. μ. ἀρ. π. οὗτος γὰρ δὴ πρῶτος καὶ τελειότατος δημιουργὸς χορηγὸν λαβὼν τῆς αὐτοῦ τέχνης, κ.τ.λ. Cf. Plut. *Praec. Reip. Ger.* c. 13, ὁ δὲ πολιτικὸς ἀριστοτέχνας τις ὢν κατὰ Πίνδαρον καὶ δημιουργὸς εὐνομίας καὶ δίκης: *de sera Num. vind.* c. 4, καὶ Πίνδαρος ἐμαρτύρησεν ἀριστοτέχναν ἀνακαλούμενος τὸν ἄρχοντα καὶ κύριον ἁπάντων θεόν, ὡς δὴ δίκης ὄντα δημιουργόν: *de fac. in orbe lun.* c. 13, ἢ τίνος γέγονε ποιητὴς καὶ πατὴρ δημιουργὸς ὁ Ζεὺς ὁ ἀριστοτέχνας. *Id. adv. Stoic.* c. 14, *Symp. Quaest.* I. 2. 5 et Clem. Alex. *Str.* V. 710, Euseb. *Praep. Ev.* XIII. 675 B. Bergk conjectures that Δαμιοεργὲ δίκας τε καὶ εὐνομίας should be added to Frag. 35.

35 A. Bergk's note on Frag. 35.

36. [30.] = B[4] 58.

Schol. Soph. *Trach.* 175, Εὐριπίδης δὲ τρεῖς γεγονέναι φησὶν αὐτὰς (περιστεράς)· οἱ δὲ δύο, καὶ τὴν μὲν εἰς Λιβύην ἀφικέσθαι Θήβηθεν εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον, τὴν (δὲ εἰς τὸ) περὶ τὴν Δωδώνην, ὡς καὶ Πίνδαρος Παιᾶσιν.

* 37. 38. [31. 32.] = B[4] 59. 60.

Strabo, VII. 328, πότερον δὲ χρὴ λέγειν Ἑλλούς, ὡς Πίνδαρος, ἢ Σελλούς, ὡς ὑπονοοῦσιν παρ' Ὁμήρῳ κεῖσθαι, ἡ γραφὴ ἀμφίβολος οὖσα οὐκ ἐᾷ διϊσχυρίζεσθαι. Cf. Et. M. 709. 38. Schol. *Π.* π. 234, Πίνδαρος Ἑλλοὶ χωρὶς τοῦ σ̄ ἀπὸ Ἑλλοῦ τοῦ δρυτόμου, ᾧ φασι τὴν περιστερὰν πρώτην καταδεῖξαι τὸ μαντεῖον. Eust. *Π.* 1057. 57.—Strabo, VII. 328, καὶ οἱ τραγικοί τε καὶ Πίνδαρος Θεσπρωτίδα εἰρήκασι τὴν Δωδώνην.

39. [33.] = B[4] 61.

Τί δ' ἔλπεαι σοφίαν ἔμμεναι, ᾗ τ' ὀλίγον τοι
ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;
οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει
βροτέᾳ φρενί· θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ.

40. [34.] = B[4] 62.

Schol. Apoll. Rhod. I. 1086, εἴληφε δὲ τὰ περὶ τῶν ἀλκυόνων παρὰ Πινδάρου ἐκ Παιάνων...εὐλόγως δὲ ὄσσαν εἶπε τὴν ἀλκυόνος φωνήν· ὑπὸ γὰρ Ἥρας ἦν ἀπέσταλμένη, ὥς φησι Πίνδαρος.

41. [35.] = B[4] 63.

Tzetz. *ad Lycophr.* 440, οἱ μάντεις οἱ γνήσιοι οἱ ἐθάδες τοῦ ἐν Δηραίοις τόπῳ Ἀβδήρων τιμωμένου Ἀπόλλωνος, οὗ μνημονεύει καὶ Πίνδαρος ἐν Παιᾶσιν.

39. Stobae. *Ecl. Phys.* II. 1, 8. Bacch. 1002.
39. 1. ἔλπεαι.] Cf. Nem. VII. 20. ἐρευνάσει.] Böckh, Stob. ἐρευνᾶσαι.
39. 3. Cf. Isth. IV. 16, Eur.

42. * 43. [36. 37.] = B[4] 64. 65.

Plut. *de Musica* c. 15, Πίνδαρος δ' ἐν Παιᾶσιν ἐπὶ τοῖς Νιόβης γάμοις φησὶ Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι (ὑπὸ Ἀνθίππου). Aelian. *Var. Hist.* XII. 36, Ἀλκμὰν δέκα (Niobae liberos), Μίμνερμος εἴκοσι, καὶ Πίνδαρος τοσούτους. Gellius, *Noct. Att.* XX. 7, "Nam Homerus pueros puellasque eius (Niobae) bis senos dicit fuisse, Euripides bis septenos, Sappho bis novenos, Bacchylides et Pindarus bis denos."

44. 45. 46. 47. 48. [38. 40. 41. 42. 39.] = B[4] 66—70.

I. Ammôn. 70, Θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρουσιν, καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν Παιάνων Πινδάρου φησίν, καὶ τὸν τρίποδα ἀπὸ τούτου Θηβαγενεῖς πέπουσι τὸν χρύσεον εἰς Ἰσμήνιον ἱερόν (emendation for Ἰσμηνὸν πρῶτον) κ.τ.λ.—II. Schol. Ol. I. 26, περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστιν.—III. Schol. Ol. II. 70, ἐν δὲ τοῖς Παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει· Λάϊε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων.—IV. Schol. Pyth. VI. 4, ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάπῃ, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται..... ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται.—V. Schol. Pyth. XII. 45, ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλαμοι φύονται. εἴρηται δὲ καὶ ἐν Παιᾶσι περὶ αὐλητικῆς.

IV.

ΔΙΘΥΡΑΜΒΟΙ.

49. [43.] = B[4] 71.

Schol. Ol. XIII. 25, ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων ἐν Θήβαις, ἐνταῦθα δὲ ἐν Κορίνθῳ.

44—48. From Didymos' commentary on Pindar's *Paeâns*.

50. [44.] = B[4] 72.

Ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ
Ὠαρίων.

51. [52.] = B[4] 73.

Strabo, IX. 404, καὶ ἡ Ὑρία δὲ τῆς Ταναγραίας νῦν ἐστι, πρότερον δὲ τῆς Θηβαΐδος· ὅπου ὁ Ὑριεὺς μεμύθευται καὶ ἡ τοῦ Ὠρίωνος γένεσις, ἣν φησι Πίνδαρος ἐν τοῖς Διθυράμβοις (cf. Eust. 264. 44). Hygin. *Poet. Astron.* II. 34, "Aristomachus autem dicit quendam Hyriea fuisse Thebis, Pindarus autem in insula Chio. Hunc autem cum Iovem et Mercurium hospitio recepisset, petisse ab his, ut sibi aliquid liberorum nasceretur: itaque, quo facilius petitum impetraret, bovem immolasse et his pro epulis apposuisse: quod cum fecisset, poposcisse Iovem et Mercurium quod corium de bove fuisset detractum, et quod fecerant urinae in corium infudisse, et id sub terra poni iussisse: ex quo postea natum puerum, quem Hyrieus e facto Uriona nomine appellaret: sed vetustate et consuetudine factum est, ut Orion vocaretur. Hic dicitur Thebis Chium venisse, et Oenopionis filiam Meropen per vinum cupiditate incensus compressisse etc."

52. [53.] = B[4] 74.

.....Τρεχέτω δὲ μετὰ
Πληϊόναν, ἅμα δ' αὐτῷ κύων (λεοντοδάμας.)

53. [45.] = B[4] 75.

Ἴδετ' ἐν χορόν, Ὀλύμπιοι,

50. *Etym. Magn.* p. 460, 35, Cramer, *An. Par.* IV. 194, 7, *An. Ox.* III. 89, 29. 'Once when drunken, assaulted another's wife.' See L. and S. θωρήσσω, II. The allusion is perhaps to Oriôn and Plêionê.

For ἔπεχ' or ἐπεῖχεν cf. Schol. Nem. II. 16.

52. Schol. Nem. II. 16. Lucian. *pro Imag.* c. 18. *Etym. Magn.* p. 675, 33.

τρεχέτω.] Bergk. Böckh, τρέχων.

53. Dionysios Halikarn. *de Comp. Verb.* c. 22, given an instance τῆς αὐστηρᾶς ἁρμονίας. The piece was composed for the Athenians.

53. 1. Ἴδετ'.] Böckh with one

ἐπί τε κλυτὰν πέμπετε χάριν, θεοί,
πολύβατον οἴτ' ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
5 οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν·
ἰοδετᾶν λάχετε στεφάνων
τῶν ἐαριδρέπτων λοιβάν, Διόθεν τέ με σὺν ἀγλαᾷ
ἴδετε πορευθέντ' ἀοιδᾷ δεύτερον
ἐπὶ κισσοδέταν θεόν,
10 τὸν Βρόμιον Ἐριβόαν τε βροτοὶ καλέομεν. γόνον
ὑπάτων μὲν πατέρων μελπέμεν
γυναικῶν τε Καδμειᾶν ἔμολον.
ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανθάνει,

MS. δεῦτ'. Perhaps Ἴτε δ'. For ἰδεῖν = 'regard with favour,' cf. Ol. XIV. 15. For ἰδεῖν ἐν (ἐς) cf. Frag. 100. 9.

ἐν.] Cf. Pyth. II. 11. For the invocation cf. Aristoph, *Nub.* 563.

2. ἐπί.] Tmesis. Edd. ἔπι.

κλυτὰν χάριν.] 'A renowned (or 'loud') song.' Cf. Ol. XIV. 19, Isth. VI. 19, VII. 16.

3. ὀμφαλόν.] Dissen takes this to be the altar of the Twelve gods in the forum at Athens.

5. εὐκλέ'.] εὐκλέα for εὐκλεέα, cf. Nem. VI. 30.

ἀγοράν.] The old forum below the Pnyx, Akropolis and Areopagos.

6. λάχετε.] Bergk λάβετε.

7. τῶν ἐαρ. λοιβ.] Böckh τᾶν τ' ἐαριδρεπτᾶν λοιβᾶν. Bergk τῶν ἐαριδρόπων· | ἀμοιβὰν Δι. (ἀμοιβ. acc. in apposition with the sentence).

Διόθεν.] 'From heaven.'

ἀγλαᾷ.] Böckh. MSS. ἀγλαΐᾳ.

8. δεύτερον.] Perhaps the first occasion was with the dithyramb of which the next fragment is the opening.

9. κισσοδέταν.] Bergk ἐπί τε κισσοκόμαν. So κισσοφόρος Ol. II. 27, Hom. *Hymn.* XXVI. 1. Eur. *Phoen.* 651. Simonides, Frag. 148 [205],

πολλάκι δὴ φυλῆς Ἀκαμαντίδος
ἐν χοροῖσιν Ὧραι | ἀνωλόλυξαν κισσοφόροις ἐπὶ διθυράμβοις | αἱ Διονυσιάδες, μίτραισι δὲ καὶ ῥόδων ἀώτοις | σοφῶν ἀοιδῶν ἐσκίασαν λιπαρὰν ἔθειραν.

10. τόν.] 'Whom.' Some place a full stop after *v.* 9 and a comma after καλέομεν.

μὲν...τε.] Cf. Ol. IV. 15.

πατέρων.] Zeus, while γυναικῶν Καδμειᾶν means Semelê. For the plural cf. Isth. V. 43, τοῖσιν referring only to Achilles, Nem. I. 58.

μελπέμεν.] For inf. cf. Isth. VII. 63, Frag. [6], 5.

11. ἔμολον.] The poet identifies himself with his ode, cf. Ol. VII. 13. Some MSS. Σεμέλην.

12. MSS. ἐν ἀργέα νεμέω(α) μαντιν. Heyne, ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν (i.e. the custodian of the sacred palm tree at Nemea, branches from which the victors bore in their hands). Bergk, ἐναργέ' ἀνέμων μαντήϊ'. Usener, ἐναργέα τελέων σάματα, Christ, ἐναργέα τέλεα μάντιν. Perhaps ἐναργέ' ἄνθεμα μάντιν (ΘCM for MS. ЄMЄ). Heyne and his followers suppose Pindar to have been at Nemea in the Spring. But if

φοινικοεάνων ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα.
15 τότε βάλλεται, τότ' ἐπ' ἀμβρόταν χθόν' ἐραταὶ
ἴων φόβαι, ῥόδα τε κόμαισι μίγνυται,
ἀχεῖαί τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς,
ἀχεῖται Σεμέλαν ἑλικάμπυκα χοροί.

54. [46.] = B⁴ 76.

Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι, Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον.

* 55. [196.] = B⁴ 77.

Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας.

* 56. [225.] = B⁴ 78.

Κλῦθ', Ἀλαλὰ Πολέμου θύγατερ,
ἐγχέων προοίμιον, ᾇ θύεται
ἄνδρες (ὑπὲρ πόλιος) τὸν ἱρόθυτον θάνατον.

this were so, there is no reason why he should mention it, as the games were in the summer. Of course *μάντιν* is most naturally the poet.

13. *φοινικοεάνων.*] Koch from MSS. *φοίνικος ἑανῶν.* Other Edd. before Bergk *φοίνικος ἔρνος.*

οἰχθέντος.] Cf. Lucr. I. 10.

14. *ἐπαΐωσιν.*] Cf. Nem. II. 14 for the meaning 'feel,' 'feel the influence of;' and for the number cf. Pyth. I. 13. Bergk *ἐπάγωσιν ἔαρ. φυτὰ νεκτάρεα | τότε βάλλεται.*

15. *χθόν'.*] *Var. lect. χέρσον.*

16. *μίγνυται.*] The *ῥόδα* softens the *Schema Pindaricum* (cf. Pyth. x. 71, Ol. x. [XI]. 6).

17. *ἀχεῖταί τ'.*] Hermann's correction of *οἰχνεῖτε, ὑμνεῖτε*, from Lesbonax, *περὶ σχημάτων*, p. 184 Valckenaer. Bergk, *ἀχεῖ τ'* after one MS.

54. Schol. Aristoph. *Acharn.* 673, *Nub.* 299, *Equ.* 1329. Cf. Isokr. *de Antidosi*, 166. Cf. also O. and P. pp. xi., xii.

54. Scholl. Aristoph. *Acharn.* 673, *Nub.* 299. Schol. Aristid. III. 341.

54. 1. *Ὦ ταί.*] Böckh, *αἵ τε.*

ἰοστέφανοι.] I.e. at the Vernal Dionysia, cf. last Frag. *v.* 6. Cf. Aristoph. *Acharn.* 636 ff.

55. 56. Plut. *de Gl. Athen.* c. 7.

57A. 57B. [47. 48.] = B[4] 79 A, B.

Πρὶν μὲν εἶρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων
καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων.

.....σοὶ μὲν κατάρχειν,
μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων·
ἐν δὲ κεχλάδειν κρόταλ', αἰθομένα δὲ δᾷς ὑπὸ ξανθαῖσι πεύκαις.

57C. = B[4] 80.

Κυβέλα μᾶτερ θεῶν.

58. [49.] = B[4] 81.

.....Σὲ δ' ἐγὼ παρά μιν
αἰνέω μέν, Γηρυόνα, τὸ δὲ μὴ Διὶ
φίλτερον σιγῷμι πάμπαν· οὐ γὰρ ἐοικὶς

57 A. Strabo x. 469 (719), Athênaeos, XI. 467 B, 488 D, Dionysos Hal. *de Comp. Verb*, c. 14. Böckh by emendation and combination gets the text. Dionysos *l. c.* explains, *εἰσὶ δὲ οἱ ἀσίγμους ᾠδὰς ὅλας ἐποίουν, δηλοῖ δὲ τοῦτο Πίνδαρος, κ.τ.λ.* Such an ode was ascribed to Lasos of Hermionê, under whom Pindar studied. The Greeks confused the Phoenician sibilants. The sign of *schin* ᴍ is used for sigma in early Aeolo-Dorian alphabets, while the name *σὰν* may be borrowed from the Phoenician equivalent for either *schin* or *sain* (the 7th letter, zêta). The sigma of the ordinary Greek alphabet takes the place of *schin*, while the Greek Xi has the place of *samech*, but its name sounds as if it might be borrowed from *schin*. Zêta again has the place of *sain* but the name of *tsade*. These facts suggest that the ordinary Doric sibilant differed in pronunciation from the Attic and that ξ < sy (Doric future) may have been pronounced more like our *sh* or German *sch* than like *ks*.

In this fragment Pindar seems to claim the invention of improvements in the dithyramb. Is *διθύραμβος* a dialectic form for *διφθέραμβος* 'skin-chant,' the part *-αμβο-* being akin to *ὀμφή*? For Pindar's punning derivation see Frag. 62.

57 B. Strabo, *l. c.* Frag. 57 A, whence it appears that this fragment is from the same dithyramb as the last.

57 B. 1. *κατάρχειν.*] For the active see my note on *ἀπάρχει*, Nem. IV. 46.

57 B. 3. *κεχλάδειν.*] MSS. *καχλάδων*. Text Hermann.

57 C. Philodêmos, *περὶ εὐσέβ.* p. 29 (Gompertz). Bergk's restoration from a very corrupt passage. Perhaps it is from the same ode as the two last fragments.

58. Aristid. II. 70.

58. 1. *παρά μιν.*] So Bergk from two MSS. and a Schol. Böckh *παρ' ἄμμιν*, other MSS. *παρ' ἀμίν*, 'between ourselves.'

ἁρπαζομένων τῶν ἐόντων καθῆσθαι παρ' ἑστίᾳ,
5 καὶ κακὸν ἔμμεναι.

59. [50.] = B[4] 82.

Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον.

60. [51.] = B[4] 83.

Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.

61. [54.] = B[4] 84.

Harpokrat. 142, παλιναίρετος...ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις. Phot. 373, 11.

* 62. [55.] = B[4] 85.

Et. M. 274, 50, Διθύραμβος...Πίνδαρος δὲ φησὶ λυθίραμβον· καὶ γὰρ Ζεὺς τικτομένου αὐτοῦ ἐπεβόα Λῦθι ῥάμμα, λῦθι ῥάμμα, ἵν' ᾖ λυθίραμμος, καὶ διθύραμβος κατὰ τροπὴν καὶ πλεονασμόν.

* 63. [56.] = B[4] 86.

Choeroboskos, I. 279, εἶτα αὕτη ἡ αἰτιατικὴ φημὶ δὲ ἡ ἴκτινον κατὰ μεταπλασμὸν γέγονεν ἴκτινα, ὥσπερ...διθύραμβον διθύραμβα παρὰ Πινδάρῳ.

V.

ΠΡΟΣΟΔΙΑ.

ΕΙΣ ΔΗΛΟΝ.

64. 65. [58.] = B[4] 87. 88.

Στρ.

Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου

58. 4. Cf. Ol. I. 83.
58. 5. καὶ κακόν.] 'And so be a coward.'
59. Schol. Pyth. II. Inscr. ἀγχίκρημνον.] *V. l.* ἄγει κνήμων. For text cf. Frag. 184.
60. Schol. Ol. VI. 152. Cf. Ol. VI. 90.
64. Philo-Judaeus, *de Corrupt. Mundi*, II. p. 511 (Mangey).

παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἄντε βροτοὶ
Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον.
... ...

Ἀντ.

ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν τ' ἀνέμων
ῥιπαῖσιν· ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θοαῖς
ἀγχιτόκοις ἐπέβαινεν, δὴ τότε τέσσαρες ὀρθαὶ
πρέμνων ἀπώρουσαν χθονίων,
5 ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι
κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.

ΑΙΓΙΝΗΤΑΙΣ ΕΙΣ ΑΦΑΙΑΝ.

66. [59.] = B⁴ 89.

Τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν,
ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι;

ΕΙΣ ΔΕΛΦΟΥΣ.

* 67. [60.] = B⁴ 90.

.....Πρὸς Ὀλυμπίου Διός σε,

64. 3. ἀκίνητον.] In B. C. 490 Dêlos was shaken by an earthquake, so unless Isth. I. and this 'Prosodiac Paean' were composed before that date, the epithet means 'unmoved from its place,' as is most likely.

64. 5. Dêlos was called Asteria and Anaphê.

65. Strabo, X. p. 742 B (485). It is clear from the metre this fragment is from the same poem as the last. The two first verses of 65 answer to the third and fourth of 64.

65. 2. Κοιογενής.] Lêtô, cf. Hes. *Theog.* 404—406.

θοαῖς.] MSS. θύοις, Bergk. θύοισ'.

65. 3. ἐπέβαινεν.] Porson ἐπέβα νιν.

65. 5. ἂν...σχέθον.] Tmesis.

66. Schol. Aristoph. *Equites*, 1263, cf. Pausan. II. 30. 30.

66. 2. ἐλάτειραν.] Artemis Aphaea, a goddess worshipped in Aegina. Cf. ἱπποσόα, Ol. III. 26.

67. Aristid. II. 510 (379).

χρυσέα κλυτόμαντι Πυθοῖ,
λίσσομαι Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ
ἐν ζαθέῳ με δέξαι χορῷ
5 ἀοίδιμον Πιερίδων προφάταν.

68. [61.] = B⁴ 91.

Porphyr. *de Abst.* III. 251, Πίνδαρος δὲ ἐν προσῳδίοις (προσοδίοις) πάντας τοὺς θεοὺς ἐποίησεν, ὁπότε ὑπὸ Τυφῶνος ἐδιώκοντο, οὐκ ἀνθρώποις ὁμοιωθέντας, ἀλλὰ τοῖς ἄλλοις (Wesseling τοῖς ἀλόγοις) ζῴοις.

* 69. 70. [93.] = B⁴ 92. 93.

Κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος
ἀμφίκειται.

* * *

ἀλλ' οἷος ἄπλατον κεράϊζες θεῶν
Τυφῶν' ἑκατοντακάρανον ἀνάγκᾳ, Ζεῦ πάτερ,
ἐν' Αρίμοις ποτέ.

71. = B⁴ 94.

Μεμναίατ' ἀοιδᾶς.

VI.

ΠΑΡΘΕΝΙΑ.

ΠΑΝΙ 72—77.

72. [63.] = B⁴ 95.

Ὦ Πάν, Ἀρκαδίας μεδέων, καὶ σεμνῶν ἀδύτων φύλαξ,

67. 4. χορῷ.] So Bergk, *vulg.* χώρῳ perhaps 'the dancing-place' at Delphi. For the connection of Aphroditê and the Graces with Delphi cf. Pyth. VI. 2.

69, 70. Strabo, XIII. 626 (930 A). Cf. Julian, *Ep.* XXIV. 395.

70. 2. ἑκατοντακάρανον.] So Hermann after Pyth. I. 16 (cf. Schol. Hes. *Theog.* 311), MSS. Τυφῶνα πεντηκοντακέφαλον.

71. Cramer, *An. Par.* III. 292, 26.

72. Eustath. *Prooem.* 27. Schol. Pyth. III. 139.

... ...

Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν.

* 73. [66.] = B⁴ 96.

Ὦ μάκαρ, ὅντε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέοισιν Ὀλύμπιοι.

* 74. [65.] = B⁴ 98.

Schol. Theokr. v. 14, τὸν Πᾶνα τὸν ἄκτιον· τινὲς δὲ τὸν Ἀπόλλωνά φασι τὸν ἐπὶ τῆς ἀκτῆς ἱδρύμενον, φησὶ δὲ καὶ Πίνδαρος τῶν ἁλιέων αὐτὸν φροντίζειν.

* 75. [64.] = B⁴ 97.

τό σαυτοῦ μέλος γλάζεις.

* 76. [67.] = B⁴ 99.

Aristid. I. 49, Διδόασι δ' αὐτῷ καὶ τὸν Πᾶνα χορευτὴν τελεώτατον θεῶν ὄντα, ὡς Πίνδαρός τε ὑμνεῖ καὶ οἱ κατ' Αἴγυπτον ἱερεῖς κατέμαθον.

* 77. [68.] = B⁴ 100.

Serv. Virg. Georg. I. 16, "Pana Pindarus ex Apolline et Penelopa in Lyco (Lycaeo) monte editum scribit, qui a Lycaone rege Arcadiae locus (Lycaeus) mons dictus est: alii ex Mer-

73. Aristot. *Rhet.* II. 24.

73. 1. παντοδαπόν.] Mr Verrall, *Journal of Philology*, vol. IX. p. 150, suggests that Πᾶν is a Boeotian equivalent of κύων, and that here and in Soph. Frag. 604 we have παντόδαπος = "*all-devouring* or *all-catching*, from the stem δαπ- of δάπτω, or labialised from δακ- in δάκνω if indeed these stems are distinct." But in neither passage is Mr Verrall's assumed meaning nearly so appropriate as that which παντοδαπὸς obviously bears Aristoph. *Ran.* 289, 'taking all kinds of forms;' but for this passage 'universal' is still better. Pindar may however apply Empusa-like attributes to the god who was often the author of terror. The name κύων is not inappropriate to the god of flocks who was also a hunter, when he is spoken of as an attendant.

75. Schol. Theokr. I. 2, interpreting ἑαυτῷ ᾠδὴν ᾄδεις. For γλάζεις for κλάζεις cf. γλῶσσα for κλωκγα.

curio et Penelope natum, comitem feras solitum e cubilibus excitare, et ideo capripedem figuratum esse etc." But Schol. in Theokr. *Syrinx*, Τὸν δὲ Πᾶνα ἔνιοι γηγενῆ ἱστοροῦσιν, ἔνιοι δὲ Αἰθέρος καὶ νύμφης Οἰνόης, ὡς καὶ Πίνδαρος, ἔνιοι δὲ Ὀδυσσέως.

ΑΠΟΛΛΩΝΙ.

* 78. 79. [70.] = B[4] 101. 102.

.....Κινηθεὶς ἐπῄει
γᾶν καὶ θάλασσαν καὶ σκοπιαῖσιν μεγάλαις ὀρέων ὕπερ ἕστα,
καὶ μυχοὺς δινάσσατο βαλλόμενος κρηπῖδας ἀλσέων,
καί ποτε τὸν τρικαράνου Πτωΐου κευθμῶνα κατέσχεθε...

* * *

.....ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα.

80. [62.] = B[4] 103.

Schol. Arist. *Acharn.* 720, Ἀγοράζειν ἐν ἀγορᾷ διατρίβειν ἐν ἐξουσίᾳ καὶ παρρησίᾳ ἐστίν, Ἀττικῶς, ὅθεν καὶ ἡ Κόριννα, ἐστὶ τοῦ Πινδάρου ἀττικιστί, ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν Παρθενίων ἐχρήσατο τῇ λέξει.

81. [69.] = B[4] 104.

Schol. Theokr. II. 10, Πίνδαρός φησιν ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενίων (παρθένων), ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται τὸν Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην.

78, 79. Strabo, IX. 412, 413.
78. 3. *δινάσσατο.*] Qy. *ἀλλάσσετο?*
βαλλόμενος.] Cf. Pyth. v. 83, VII. 3.
78. 3. Πτωΐου.] Bergk, *vulg.* Πτώου. The ode seems to have celebrated the foundation of an oracle and shrine near Akraephia between Mt Ptôon and the Lake Kôpâis.

VII.

ΤΠΟΡΧΗΜΑΤΑ.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι 82. 83.

82. [71. 72.] = B[4] 105.

Σύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν
ὁμώνυμε πάτερ, κτίστορ Αἴτνας·
Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων,
ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται·
5 ἀκλεὴς ἔβα τῶνδε.....

83. [73.] = B[4] 106.

Ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν
ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἔρπετον·
Σκύριαι δ' ἐς ἄμελξιν γλάγους
αἶγες ἐξοχώταται·
5 ὅπλα δ' ἀπ' Ἄργεος· ἅρμα Θηβαῖον· ἀλλ' ἀπὸ τᾶς ἀγλαοκάρπου
Σικελίας ὄχημα δαιδάλεον ματεύειν.

ΘΗΒΑΙΟΙΣ ΕΙΣ ΗΛΙΟΝ ΕΚΛΕΙΨΑΝΤΑ.

* 84. [74.] = B[4] 107.

Ἀκτὶς Ἀελίου, τί, πολύσκοπ' ἐμὰ θεά, ἐμῶν μᾶτερ ὀμμάτων,

82. Schol. Nem. VII. 1. Schol. Pyth. II. 127. Schol. Aristoph. *Aves*, 925. Cf. Plato, *Phaedr.* 236 D, *Meno* 76 D.

82. 3. It is not certain that this line followed the last immediately.

Στράτων.] Hiero's charioteer when he won the victory celebrated by Pyth. II., to whom he had given the mules. Here Pindar hints that a chariot also would be acceptable. Note the absence of any formal indication of the simile.

83. Athênaeos, I. 28 A, clearly from the same poem as Frag. 82.

83. 1. Cf. Soph. *Ai.* 8.

83. 5. ὅπλα.] 'Shields,' cf. Ol. VII. 83.

83. 6. Cf. Ol. IV. 10.

84. Dionys. Hal. *de adm. vi dic. Demosth.* c. 7. Cf. Boetticher, *Annal. Antiqu.* 1853, p. 184. The

ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον,
ἔθηκας ἀμάχανον ἰσχὺν [πτανὸν]
ἀνδράσιν καὶ σοφίας ὁδόν, ἐπισκότον
5 ἀτραπὸν ἐσσυμένα
ἐλᾶν τι νεώτερον ἢ πάρος;
ἀλλά σε πρὸς Διὸς, ἱπποσόα θεός, ἱκετεύω,
ἀπήμον' ἐς ὄλβον τινὰ τράποις Θήβαις, ὦ πότνια,
πάγκοινον τέρας.
πολέμου δ' εἰ σᾶμα φέρεις τινός, ἢ
10 καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος
ὑπέρφατον, ἢ στάσιν οὐλομέναν,
ἢ πόντου κενέωσιν ἀνὰ πέδον,
ἢ παγετὸν χθονός, ἢ νότιον θέρος
ὕδατι ζακότῳ διερόν,
15 ἢ γαῖαν κατακλύσαισα θήσεις
ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος,
ὀλοφύρομαι * οὐδὲν ὅ τι *
πάντων μέτα πείσομαι.

